Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XLI. Ut qui res Ecclesiae emerunt, aut dono acceperunt, eas restituant.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

## ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Τοὺς ἀγοράσαντας ἐκκλησιαστικά, ἢ κατὰ δωρεὰν λαβόντας ἀποδοῦναι.

Ἐπεὶ δ᾽ ὁλοκλήρου προνοίας ἂν εἴη μηδὲ τούτους σιωπῇ παρελθεῖν, ὅσοι περὶ ἢ ὠνῆς δικαίῳ ἐπρίαντό τι παρὰ τοῦ ταμείου, ἢ κατὰ δωρεὰν κατεῖχον συγχωρηθὲν μάτην, καὶ ἐπὶ τὰ τοιαῦτα τὰς ἀπλήστους ἐπιθυμίας ἐκτείναντες γινωσκέτωσαν, ὡς τοιοῦτοι, εἰ καὶ ὅτι μάλιστα οἷς ἐτόλμησαν πειρᾶσθαι, ἀλλοτρίαν τὴν παρ᾽ ἡμῶν εἰς αὐτοὺς ἐπειράθησαν καταστῆσαι φιλανθρωπίαν, ὅμως ταύτης εἰς τὸν δυνατὸν καὶ πρέποντα τρόπον οὐκ ἀτυχήσουσι, ταῦτα μὲν οὖν εἰς τοσοῦτον ἀνήχθω.

## Caput XLI.

*Vt qui res Ecclesiæ emerunt, aut dono acceperunt, eas restituant.*

Quoniam verò perfectæ & absolutæ providentiæ est, ne illos quidem silentio præterire qui emptionis jure aliquid à fisco comparaverint, aut donationis titulo sibi concessum possederint, frustra ad hujusmodi bona inexplebilem cupiditatem extendentes: sciant omnes hujusmodi, etiamsi ob ea quæ emere sunt ausi, nostram à se clemen- B tiam alienare magnopere studuerunt, nostram tamen benignitatem quoad ejus fieri poterit ac decebit, sibi non defuturam.

## ΚΕΦΑΛΑΙΟΝ ΜΒ'

Σέβειν τὸν Θεὸν σπουδαία παραίνεσις.

Ἐπειδὴ δὲ ἀποδείξεσιν ἐναργεστάταις καὶ σαφεστάταις ἐξεφάνη, ἀρετῇ τε τοῦ πάντα δυνατοῦ Θεοῦ, καὶ παραινέσεσιν ἅμα καὶ βοηθείαις ἃς ὑπὲρ ἐμοῦ συχνὰς ἀξιοῖ ποιεῖσθαι, τὴν πρότερον κατέχουσαν πάντα τὰ ἀνθρώπινα δυσχέρειαν ἐκ πάσης ἤδη ἐληλάσθαι τῆς ὑφ᾽ ἡλίῳ, οἱ καθένα τε καὶ οἱ σύμπαντες ὁμοῦ ἐσπουδασμέναις καθορᾶται φροντίσι, τίς ἐκείνη καθέστηκεν ἡ ἐξουσία, τίς χάρις, ἢ τῶν μὲν πονηροτάτων καὶ μοχθηροτάτων τὸ ὡς εἰπεῖν σπέρμα ἠφάνισέ τε καὶ διέφθειρε. τῶν δ᾽ ἀγαθῶν τὴν εὐφροσύνην ἀνακληθεῖσαν, ἐπὶ πάσας ἐκτείνει τὰς χώρας ἀφθόνως. καὶ αὖθις αὐτόν τε τὸν θεῖον νόμον τὰ εἰκότα μετὰ παντὸς σεβάσματος θεραπεύεσθαι, τούς τε τούτῳ σφᾶς αὐτοὺς καθιερώσαντας τὰ προσήκοντα σέβειν, ἐξουσίαν δίδωσιν ἅπασαν. οἱ καθάπερ ἔκ τινος σκότους βαθέος ἀνακύψαντες, καὶ λαμπρὰν τῶν πραγμάτων λαβόντες γνῶσιν, τὴν προσήκουσαν τοῦ λοιποῦ περὶ αὐτὸν θεραπείαν τε καὶ τιμὴν εὐσεβῆ καὶ σύμφωνον ἐπιδείξονται. προτεθήτω ἐν τοῖς ἡμετέροις ἀνατολικοῖς μέρεσιν.

## Caput XLII.

*Sedula exhortatio ad colendum Deum.*

Sed de his hactenus dixisse sufficiat. Porro cùm evidentissimis ac certissimis argumentis declaratum sit; partim omnipotentis Dei vi ac virtute, partim adhortationibus atque adjumentis quæ à me frequenter præstari desiderat, tristitiam & acerbitatem quæ res humanas C antea occupabat, nunc ex universo terrarum orbe depulsam esse: cuncti simul & singuli diligenti meditatione perspicitis, quæ & quanta sit potestas & gratia illa, quæ improbissimorum quidem hominum stirpem penitus delevit ac sustulit; bonorum verò hilaritatem ac lætitiam restituens, per omnes regiones longè latéque diffundit; & quæ liberam omnibus facultatem permittit, tum ut divinam legem cum debito cultu iterum venerentur, tum ut eos qui se hujus legis ministerio consecraverunt, con- D gruo honore prosequantur. Qui quidem tanquam ex profunda quadam caligine emergentes, & illustrem rerum notitiam haurientes, debitam deinceps huic legi observantiam, & piam ac consentientem reverentiam exhibebunt. Proponatur in Orientalibus partibus nostris.

## ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

Ὅπως τὰ νομοθετηθέντα ὑπὸ Κωνσταντίνου, δι᾽ ἔργων ἐτελεῖτο.

Τὸ μὲν δὴ πρῶτον ὡς ἡμᾶς καταπεμφθὲν βασιλέως γράμμα, ταῦτα διετάττετο· αὐτίκα δὲ δι᾽ ἔργων ἐχώρει τὰ πρὸς τοῦ νόμου

## Caput XLIII.

*Quomodo Constantinus ea quæ legibus sanxerat, factis ipsis confirmavit.*

Et hæc quidem, prima Imperatoris epistola ad nos missa constituit. Ceterùm ea quæ lege sancita fuerant, con-